UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XXXIX. Descriptio atrii, exhedrarum & vestibulorum.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

ΚΕΦΑΛΑΙΟΝ ΛΗ΄.

Ἔκφρασις ἡμισφαιρίου καὶ κιόνων δώδεκα καὶ κρατήρων.

ΤΟύτων δ' ἀντικρὺ, τὸ κεφάλαιον τοῦ παντὸς ἡμισφαίριον ἦν, ἐπ' ἄκρου τοῦ βασιλείου ἐκτεταμένον· ὃ δὴ δυοκαίδεκα κίονες ἐστεφάνουν, τοῖς τοῦ σωτῆρος Ἀποστόλοις ἰσάριθμοι, κρατῆρσι μεγίστοις ἐξ ἀργύρου πεποιημένοις τὰς κορυφὰς κοσμούμενοι· οὓς δὴ βασιλεὺς αὐτὸς ἀνάθημα κάλλιστον ἐποιεῖτο τῷ αὐτοῦ Θεῷ.

Caput XXXVIII.

Deſcriptio hemiſphærii, & duodecim columnarum cum crateribus.

E Regione harum portarum erat hemiſphærium, quod totius operis caput eſt: uſque ad culmen ipſius baſilicæ protentum. Cingebatur id duodecim columnis, pro numero ſanctorum Servatoris noſtri Apoſtolorum. Quarum capita maximis crateribus argenteis erant ornata: quos Imperator tanquam pulcherrimum donarium Deo ſuo dicaverat.

B

ΚΕΦΑΛΑΙΟΝ ΛΘ΄.

Ἔκφρασις μεσαυλείου καὶ ἐξεδρῶν καὶ προπύλων.

ΕΝθεν δὲ προϊόντων ἐπὶ τὰς πρὸ τοῦ νεὼ κειμένας εἰσόδους, αἴθριον διελάμβανεν. ἦσαν δὲ ἐνταυθοῖ παρ' ἑκάτερα, καὶ αὐλὴ πρώτη, στοαί τ' ἐπὶ ταύτῃ, καὶ ἐπὶ πᾶσιν αἱ αὔλειοι πύλαι· μεθ' ἃς ἐπ' αὐτῆς μέσης πλατείας ἀγορᾶς, τὰ τοῦ παντὸς προπύλαια φιλοκάλως ἠσκημένα, τοῖς τὴν ἐκτὸς πορείαν ποιουμένοις καταπληκτικὴν παρεῖχον τὴν τῶν ἔνδον ὁρωμένων θέαν.

Caput XXXIX.

Deſcriptio atrii, exhedrarum & veſtibulorum.

HInc ad eos aditus qui ante templum ſunt progredientibus, aream interpoſuit. Erant autem in eo loco primùm atrium, deinde porticus ad utrumque latus, ac poſtremò portæ atrii. Poſt has totius operis veſtibula in ipſa media platea in qua forum eſt rerum venalium, ambitioſo cultu exornata, iter forinſecus agentibus, aſpectum earum rerum quæ intus cernebantur non ſine quodam ſtupore exhibebant.

C

ΚΕΦΑΛΑΙΟΝ Μ΄.

Περὶ πλήθους ἀναθημάτων.

ΤΟῦτον μὲν οὖν τὸν νεὼν, σωτηρίου ἀναστάσεως ἐναργὲς ἀνίστη μαρτύριον βασιλεὺς, πλουσίᾳ καὶ βασιλικῇ κατασκευῇ τὸν σύμπαντα καταφαιδρύνας· ἐκόσμει δ' αὐτὸν ἀδιηγήτοις κάλλεσι πλείστων ὅσων ἀναθημάτων, χρυσοῦ καὶ ἀργύρου καὶ λίθων πολυτελῶν ἐν διαλλαττούσαις ὕλαις· ὧν τὴν κατὰ μέρος ἐπισκευὴν φιλοτέχνως εἰργασμένην, μεγέθει τε καὶ πλήθει καὶ ποικιλίαις, οὐ σχολὴ νῦν ἐπεξιέναι τῷ λόγῳ.

Caput XL.

De numero donariorum.

HOc igitur templum tanquam ſalutiferæ reſurrectionis teſtimonium Imperator exſtruxit, & magnifico planéque regio apparatu decoravit. Nec dici poteſt, quot quantiſque ornamentis ac donariis, partim ex auro & argento, partim ex gemmis, illud diverſimodè venuſtavit. Quorum apparatum ſummo artificio elaboratum, & magnitudine & numero & varietate inſignem, hic ſingillatim exponere haud

D vacat.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ΄.

Περὶ οἰκοδομῆς ἐκκλησιῶν ἐν Βηθλεέμ, καὶ τῷ ὄρει τῶν ἐλαιῶν.

ΑΠολαβὼν δ' ἐνταυθοῖ χώρας ἑτέρας δυσὶν ἄντροις μυστικοῖς τετιμημένας, πλουσίαις καὶ ταύτας φιλοτιμίαις ἐκόσμει. τῷ μὲν τῆς πρώτης τοῦ Σωτῆρος θεοφανείας ἄντρῳ, ἔνθα δὴ καὶ τὰ τῆς ἐνσάρκου γενέσεως ὑπέστη, τὰς καταλλήλους νέμων τιμάς. τῷ δὲ τῆς εἰς οὐρανοὺς ἀναλήψεως τὴν ἐπὶ τῆς ἀκρω-

Caput XLI.

De ædificatione Eccleſiæ apud Bethleem & in monte Olivarum.

ALia quoque ejuſdem regionis loca duabus ſacris ſpeluncis nobilitata, ambitioſo cultu exornare aggreſſus eſt. Et ſpeluncam quidem illam in qua Servator noſter divinam præſentiam ſuam primùm exhibuit, & in carne naſci ſuſtinuit, Imperator convenienti honore affecit. In altera verò ſpelunca, Aſcenſionis Dominicæ quæ in montis vertice